# [Eukhē epi tēn eutuchē ódoiporían hēn ... Konrados Kouensel ... Magnou de-l...

Fordeell, Magnus

*82 Aa 13/2 Quensel*

National Library of Sweden

Vers. öv. enst.
Pat. fol.
1600-talet
1658

ΕΥΧΗ

Ἐπὶ τὴν εὐτύχη ὁδοιπορίαν

ἫΝ

ἘΝΔΟΞΌΤΑΤΟΣ ΜΑΛΙΣΤΑ ΤΕ ΚΑῚ ΣΠΟΥΔΑΙ͂ΟΣ ἈΝΗ͂Ρ

# Ο ΚΟΝΡΑΔΟΣ ΚΟΥΕΝΣΕΛ

Conrad Quensel

ΤΟΥ͂

ἘΝΓΕΝΕΣΤΑΤΟΥ, ἸΦΘΙΜΟΤΑΤΟΥ ΚΑῚ ΜΕΓΑΛΟΨΥΧΟΥ ΚΥΡΙΟΥ

# ΜΑΓΝΟΥ ΔΕ-ΛΑ-ΓΑΡΔΙΑΔΟΥ

ΤΟΥ͂ ΚΟΙΡΑΝΟΥ ΚΑῚ ΤΟΥ͂ ΤΗ͂Σ ΒΑΣΙΛΕΙΑΣ ΤΗ͂Σ ἩΜΕΤΕΡΗΣ ΜΗΤΙΕΤΟΥ ΚΑῚ θεσαυροφύλακος, αὐτοκράτορος ἐν **Läckö** καὶ **Arensborg**/ Κυρίου ἐν **Eckholm**/ etc.

ἘΠῚ ΤΩ͂Ν ἈΠΟῤῬΗΤΩΝ ἘΠΙΜΕΛΕΣΤΑΤΟΣ

Σπουδαστὴς μοῦ καὶ τροφεὺς τιμαῖς ἀθανάτοις αἰεὶ σεβόμενος ὑπέλαβε.

Ἀπὸ τοῦ τῆς Χριστογονίας ἐνιαυτοῦ

ᾳ. χ΄. ν΄. η΄.

Καὶ ἐν τῷ Βοηδρομίωνι, τῇ ἡμέρᾳ. ε΄.

Φαίδιμ' ἄνερ τροφεὺς πάντων περὶ μήδεα εἰδὼς,
Μοῦσαι ἐμοῦ μεμάουσιν, τ' εἰ δύναμις γε παρείη,
Ὄλβια σοῦ τε δέεσθαι. Δέσποτα, πρόφρονι θύμῳ,
Μουσῶν πέρ τε θαμείων, κηρόθεν εὐχομένων μὲν,
Μήδεο, κ' ἐν πολλαῖς χαμαὶ ἱέμεν, ὢ, ἔα ταύτας.

Σύ διόθεν προλιπὼν τε δόμους καὶ πατρίδα γαῖαν,
Θήλε μὲν εἰς, πολλὰ φρεσὶ πράγματα βυσσοδομεύων,
Τῆς τ' ἀρετῆσιν καὶ ἀγχινοίῃ πίσυνος ἀρχὴ,
Σαῖσι τελῆσαι, ὅρματον ἐς καὶ δῶκε τεθῆναι.
Τοὺς δ' ἡμᾶς γὰρ πένθος ἔχει νεοκηδεῖ θύμῳ,
Κ' ἀζόμεθα κραδίην ἀκαχήμενοι ἀλυσσόμεθ' αἰεὶ,
Μή τις ἀνὴρ κακὸς, ἠδέ καὶ ἀκάματος τε κέλευθος
Πῆμα σοὶ ἤδ' ἐπάσῃ, σὴν ἤδ ψυχὴν ἀφέληται.
Ἀλλὰ κ' ἐπεὶ ἐπέβησας ὁδοῦ δία μήδεα ἀρχῆς,
Κ' οὐ κείνοις ἀπανεύθε διὸς ὁδὸς οὐδέ τις ἔδρη,
Ὅπῃ μὴ ὑψίζυγος οἷς θεὸς ἡγεμονεύει,
Οἱ βουλῆσι καλῆσι δέχονται εὖ τε πορείην,
Τασσόμενοι οὖν διόθεν πεφυλάγμενοι εὖ κατὰ μοῖραν.
Κῦδος ὀρεχθὲν δὴ περὶ πάντων σοί τε τέτυκται
Ὅτι' ἀνδρῶν προφερεστάτων ᾗ μήδεα εἰδὼς,
Ὡς, ἦ, σῆς ἀρετῆς ἱκανὸν νῦν ἆθλον ἀποίσῃς.
Τοῦτ' ἕνεκ' ἡμετέρου ἅμα οἱ τ' ἐπιλησόμεθ' ἄλγους
Τήν καὶ σοι θ' ὁδὸν ἔυλαβον εὐχόμεθ' οὖν παρὰ Χριστοῦ

Ὦ Ἰησοῦ παῖς θηλυγέτης θεοῦ, ὃς παρὰ πατρὶ,
Αἰὲ πάρει, τὸν πρωτότοκος τέκε πρωτοτόκον τε
Εὔπορον ἄν τε κέλευθον ὄπαζε, δός ἤδ' ἀφίκεσθαι,
Ἡγέμον' οἱ ἱέσθ' ἄγγελον ἄρ γ' ἀλκτῆρα τε λοιγῶν,
Ἀτρυγέτοιο ἁλὸς τ' ἢ πλεύσῃ ὑγρὰ κέλευθα,
Ἢ γαίῃ ἐπιβήσῃ ὁδὸν τ' ἐπὶ πουλυβοτείρῃ,
Τὸν Ῥαφαὴλ Τοβίαν καὶ ἦρχε τὸς εὖ τε σέσωκε,
Ὄφρ' ἀπὸ ἄλγεα οἱ καὶ λοιγοὺς ὥς τε ἀλάλκοι,
Ὥς νεβρὸν ποτε πτῶκα λεὼν πεδίονδε δίηται,
Κινδύνους, νούσους τε ἀμύνῃ καὶ κακὰ πάντα,
Σῶον ἄγῃ, σόον ἀποδιδῷ, ἔργων τελεσάντων.
Ὄφρα μέγα φρεσὶ γηθήσῃ κυδνὴ παράκοιτις,
Παῖδες ἀμύμονες, ἄρ πάντες θ' ἅμα, τὸν τε θεόν τε
Ἀγγελικῇ αἰνόντες ἀοιδῇ, πάντε λέγοντες.
ΔΟ͂ΞΑ ἘΝ ὙΨΙΣΤΟΙΣ ΤΕ ΘΕΩ͂ ΔΩΤΗ͂ΡΙ ἘΑΩΝ,
Εἰρήνη ἐπὶ γαίης, ἀνδράσι εὐδοκία τε.
Κλῦθι μοι εὐχομένῳ Ἰησοῦ παῖς αἰθέρι ναίων,
ΚΥΡΙ' ἐμοῦ λοίσῳ πόρε ταῦτα πρόφρονι θύμῳ.

Ἐυγμένη παρά,

ΜΑΓΝΟΥ **Fordeell.**

Imprimebat, IGNATIUS MEURER.

47